# ΠΡΟΣ ΦΙΛΙΠΠΗΣΙΟΥΣ

*Salutation*

1 Παῦλος καὶ Τιμόθεος, δοῦλοι Ἰησοῦ
Χριστοῦ,* πᾶσιν τοῖς ἁγίοις ἐν Χριστῷ Ἰησοῦ
τοῖς οὖσιν ἐν Φιλίπποις, σὺν ἐπισκόποις καὶ
διακόνοις· 2 Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ
Πατρὸς ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

*How Paul prays for them*

3 Εὐχαριστῶ τῷ Θεῷ μου ἐπὶ πάσῃ τῇ
μνείᾳ ὑμῶν· 4 πάντοτε ἐν πάσῃ δεήσει μου
ὑπὲρ πάντων ὑμῶν μετὰ χαρᾶς τὴν δέησιν
ποιούμενος, 5 ἐπὶ τῇ κοινωνίᾳ ὑμῶν εἰς τὸ
εὐαγγέλιον ἀπὸ† πρώτης ἡμέρας ἄχρι τοῦ νῦν,
6 πεποιθὼς αὐτὸ τοῦτο, ὅτι ὁ ἐναρξάμενος ἐν
ὑμῖν ἔργον ἀγαθὸν ἐπιτελέσει ἄχρις‡ ἡμέρας
Ἰησοῦ Χριστοῦ·§ 7 καθώς ἐστιν δίκαιον ἐμοὶ
τοῦτο φρονεῖν ὑπὲρ πάντων ὑμῶν, διὰ τὸ ἔχειν
με ἐν τῇ καρδίᾳ ὑμᾶς, ἔν τε τοῖς δεσμοῖς
μου καὶ ἐν* τῇ ἀπολογίᾳ καὶ βεβαιώσει τοῦ
εὐαγγελίου συγκοινωνούς μου τῆς χάριτος
πάντας ὑμᾶς ὄντας. 8 Μάρτυς γάρ μού

---

* **1:1** ιησου χριστου **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ 21 ℵB [3%] NU † **1:5** απο **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ 1 της 𝔭[46]ℵA,B [3%] NU ‡ **1:6** αχρις **f**[35] [97%] HF,OC,TR,CP ¦ αχρι ℵ(A)B [3%] RP,NU § **1:6** ιησου χριστου **f**[35] ℵA [65%] OC,TR ¦ 21 𝔭[46]B [35%] RP,HF,CP,NU * **1:7** εν **f**[35] 𝔭[46]ℵB [95%] RP,HF,OC,CP,NU ¦ — A [5%] TR

ἐστιν† ὁ Θεὸς ὡς ἐπιποθῶ πάντας ὑμᾶς ἐν
σπλάγχνοις Ἰησοῦ Χριστοῦ.‡
9 Καὶ τοῦτο προσεύχομαι· ἵνα ἡ ἀγάπη
ὑμῶν ἔτι μᾶλλον καὶ μᾶλλον περισσεύῃ
ἐν ἐπιγνώσει καὶ πάσῃ αἰσθήσει, 10 εἰς
τὸ δοκιμάζειν ὑμᾶς τὰ διαφέροντα, ἵνα
ἦτε εἱλικρινεῖς§ καὶ ἀπρόσκοποι εἰς
ἡμέραν Χριστοῦ, 11 πεπληρωμένοι καρπῶν*
δικαιοσύνης τῶν† διὰ Ἰησοῦ Χριστοῦ, εἰς
δόξαν καὶ ἔπαινον Θεοῦ.

## News and instructions

*By whatever means, Christ is preached*

12 Γινώσκειν δὲ ὑμᾶς βούλομαι, ἀδελφοί,
ὅτι τὰ κατ᾽ ἐμὲ μᾶλλον εἰς προκοπὴν τοῦ
εὐαγγελίου, ἐλήλυθεν· 13 ὥστε τοὺς δεσμούς
μου φανεροὺς ἐν Χριστῷ γενέσθαι ἐν ὅλῳ τῷ
πραιτωρίῳ, καὶ τοῖς λοιποῖς πᾶσιν· 14 καί, τοὺς
πλείονας τῶν ἀδελφῶν ἐν Κυρίῳ πεποιθότας
τοῖς δεσμοῖς μου περισσοτέρως τολμᾶν,

---

† **1:8** εστιν **f**$^{35}$ A [98%] RP,HF,OC,TR,CP ¦ — 𝔓$^{46}$אB [2%] NU ‡ **1:8** ιησου χριστου **f**$^{35}$ [96%] RP,HF,OC,TR,CP ¦ 21 𝔓$^{46}$אA,B [4%] NU § **1:10** εἱλικρινεις **f**$^{35}$ [30%] ¦ εἰλικρινεις *rell* (If the first half of the word is presumed to derive from 'sunlight' or 'sun', the aspiration follows naturally.) * **1:11** καρπων **f**$^{35}$ (66%) RP,HF,OC,TR,CP ¦ καρπον 𝔓$^{46}$אA,B,I,048 (33.2%) NU ¦ part of a large omission (0.8%) [homoioteleuton] † **1:11** των **f**$^{35}$ (70%) RP,HF,OC,TR,CP ¦ τον 𝔓$^{46}$אA,I,048 (28%) NU ¦ — B (0.8%) ¦ two other readings (0.3%) ¦ part of a large omission (0.8%) [homoioteleuton]

ἀφόβως τὸν λόγον λαλεῖν.‡ 15 Τινὲς μὲν
καὶ διὰ φθόνον καὶ ἔριν, τινὲς δὲ καὶ δι᾽
εὐδοκίαν τὸν Χριστὸν κηρύσσουσιν· 16 οἱ μὲν
ἐξ ἐριθείας τὸν Χριστὸν καταγγέλλουσιν,
οὐχ ἁγνῶς, οἰόμενοι θλῖψιν ἐπιφέρειν§ τοῖς
δεσμοῖς μου, 17 οἱ δὲ ἐξ ἀγάπης, εἰδότες
ὅτι εἰς ἀπολογίαν τοῦ εὐαγγελίου κεῖμαι.*
18 Τί γάρ; Πλὴν† παντὶ τρόπῳ, εἴτε προφάσει
εἴτε ἀληθείᾳ, Χριστὸς καταγγέλλεται, καὶ ἐν
τούτῳ χαίρω—ἀλλὰ καὶ χαρήσομαι.

## *To live is Christ, to die is gain*

19 Οἶδα γὰρ ὅτι τοῦτό μοι ἀποβήσεται
εἰς σωτηρίαν (διὰ τῆς ὑμῶν δεήσεως
καὶ ἐπιχορηγίας τοῦ Πνεύματος Ἰησοῦ

---

‡ **1:14** τον λογον λαλειν **f**35 𝔭46 (73.7%) RP,HF,OC,TR,NU ¦ 312 (5%) ¦ 12 του θεου 3 ℵA,B (15.8%) ¦ 1 του θεου 23 (4%) (CP) ¦ 123 του θεου (0.3%) ¦ 12 κυριου 3 (0.3%) ¦ four other readings (0.8%) § **1:16** επιφερειν **f**35 (92.7%) RP,HF,OC,TR,CP ¦ εγειρειν ℵA,B (4.8%) NU ¦ επεγειρειν (1.5%) ¦ three other readings (0.5%) ¦ part of a large omission (0.5%) [homoioteleuton] * **1:17** εξ εριθειας τον χριστον καταγγελλουσιν ουχ αγνως οιομενοι θλιψιν επιφερειν τοις δεσμοις μου οι δε εξ αγαπης ειδοτες οτι εις απολογιαν του ευαγγελιου κειμαι **f**35 (88.9%) RP,HF,OC,TR,CP ¦ 16-24,14-15,1-13 𝔭46ℵA,B,048 (9.6%) NU ¦ two other readings (0.3%) ¦ part of a large omission (1.2%) [homoioteleuton] † **1:18** πλην **f**35 [96%] RP,HF,OC,TR,CP ¦ 1 οτι 𝔭46ℵA,048 [4%] NU ¦ οτι B

Χριστοῦ) 20 κατὰ τὴν καραδοκίαν‡ καὶ
ἐλπίδα μου ὅτι ἐν οὐδενὶ αἰσχυνθήσομαι
ἀλλʼ ἐν πάσῃ παρρησίᾳ, ὡς πάντοτε καὶ νῦν
μεγαλυνθήσεται Χριστὸς ἐν τῷ σώματί μου,
εἴτε διὰ ζωῆς εἴτε διὰ θανάτου 21 —ἐμοὶ γὰρ
τὸ ζῆν Χριστὸς καὶ τὸ ἀποθανεῖν κέρδος. 22 Εἰ
δὲ τὸ ζῆν ἐν σαρκὶ τοῦτό μοι καρπὸς ἔργου,
καὶ τί αἱρήσομαι οὐ γνωρίζω. 23 Συνέχομαι
δὲ§ ἐκ τῶν δύο· τὴν ἐπιθυμίαν ἔχων εἰς τὸ
ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι (πολλῷ*
μᾶλλον κρεῖσσον) 24 τὸ δὲ ἐπιμένειν ἐν† τῇ
σαρκὶ ἀναγκαιότερον, διʼ ὑμᾶς. 25 Καὶ τοῦτο
πεποιθώς, οἶδα ὅτι μενῶ καὶ συμπαραμενῶ‡
πᾶσιν ὑμῖν εἰς τὴν ὑμῶν προκοπὴν καὶ
χαρὰν τῆς πίστεως, 26 ἵνα τὸ καύχημα ὑμῶν
περισσεύῃ ἐν Χριστῷ Ἰησοῦ ἐν ἐμοί, διὰ τῆς
ἐμῆς παρουσίας πάλιν πρὸς ὑμᾶς.
27 Μόνον ἀξίως τοῦ εὐαγγελίου τοῦ Χριστοῦ
πολιτεύεσθε, ἵνα εἴτε ἐλθὼν καὶ ἰδὼν ὑμᾶς
εἴτε ἀπὼν ἀκούσω§ τὰ περὶ ὑμῶν ὅτι στήκετε

‡ **1:20** καραδοκιαν $\mathbf{f}^{35}$ [25%] ¦ αποκαραδοκιαν ℵA,B [74%] RP,HF,OC,TR,CP,NU ¦ παραδοσιν [1%] (The longer form is so far found only in Romans 8:19, not in pre-NT literature, whereas the shorter form occurs in earlier Greek. If the longer form were original, would medieval monks [Soden's hypothesis] be likely to introduce an earlier form?) § **1:23** δε $\mathbf{f}^{35}$ $\mathfrak{P}^{46}$ℵA,B [95%] RP,HF,OC,CP,NU ¦ γαρ [5%] TR * **1:23** πολλω $\mathbf{f}^{35}$ ℵ [95%] RP,HF,TR,CP ¦ 1 γαρ ($\mathfrak{P}^{46}$)A,B,C [4%] OC[NU] ¦ ποσω [1%] (OC is in small print.) † **1:24** εν $\mathbf{f}^{35}$ $\mathfrak{P}^{46}$B [90%] RP,HF,OC,TR,CP[NU] ¦ — ℵA,C [10%] ‡ **1:25** συμπαραμενω $\mathbf{f}^{35}$ [97%] RP,HF,OC,TR,CP ¦ παραμενω $\mathfrak{P}^{46}$ℵA,B,C [3%] NU § **1:27** ακουσω $\mathbf{f}^{35}$ A,C [97%] RP,HF,OC,TR,CP ¦ ακουω $\mathfrak{P}^{46}$(ℵ)B [3%] NU

ἐν ἑνὶ πνεύματι, μιᾷ ψυχῇ συναθλοῦντες τῇ
πίστει τοῦ εὐαγγελίου, 28 καὶ μὴ πτυρόμενοι ἐν
μηδενὶ ὑπὸ τῶν ἀντικειμένων· ἥτις αὐτοῖς μέν
ἐστιν* ἔνδειξις ἀπωλείας, ὑμῖν† δὲ σωτηρίας,
καὶ τοῦτο ἀπὸ Θεοῦ. 29 Ὅτι ὑμῖν ἐχαρίσθη τὸ
ὑπὲρ Χριστοῦ, οὐ μόνον τὸ εἰς αὐτὸν πιστεύειν
ἀλλὰ καὶ τὸ ὑπὲρ αὐτοῦ πάσχειν, 30 τὸν αὐτὸν
ἀγῶνα ἔχοντες οἷον εἴδετε‡ ἐν ἐμοὶ καὶ νῦν
ἀκούετε ἐν ἐμοί.

# 2

*About having the mind of Christ*

1 Εἴ τις οὖν παράκλησις ἐν Χριστῷ, εἴ
τι παραμύθιον ἀγάπης, εἴ τις κοινωνία
Πνεύματος, εἴ τι* σπλάγχνα καὶ οἰκτιρμοί,
2 πληρώσατέ μου τὴν χαρὰν ἵνα τὸ αὐτὸ
φρονῆτε,† τὴν αὐτὴν ἀγάπην ἔχοντες,
σύμψυχοι, τὸ ἓν φρονοῦντες. 3 Μηδὲν
κατὰ‡ ἐριθείαν ἢ § κενοδοξίαν, ἀλλὰ
τῇ ταπεινοφροσύνῃ ἀλλήλους ἡγούμενοι
ὑπερέχοντας ἑαυτῶν. 4 Μὴ τὰ ἑαυτῶν

---

* **1:28** αυτοις μεν εστιν **f**35 (82.8%) RP,HF,OC,TR,CP ¦ 312 (9.6%) ¦ 31 אA,B,C (6.8%) NU ¦ 213 (0.3%) ¦ two other readings (0.5%) † **1:28** υμιν **f**35 [90%] RP,HF,OC,TR,CP ¦ υμων אA,B [5%] NU ¦ ημιν C [5%] ‡ **1:30** ειδετε **f**35 𝔓46אA,B,C [90%] RP,HF,OC,CP,NU ¦ ιδετε [10%] TR * **2:1** τι **f**35 [35%] ¦ τις 𝔓46אA,B,C [60%] RP,HF,OC,CP,NU ¦ τινα [5%] TR † **2:2** φρονητε *rell* ¦ φρονειτε [10%] ‡ **2:3** κατα **f**35 𝔓46A [90%] RP,HF,OC,TR,CP ¦ κατ אB,C [10%] NU § **2:3** η **f**35 [95%] RP,HF,OC,TR,CP ¦ μηδε κατα אA,B,C [3%] NU ¦ μηδε 𝔓46 [1%] ¦ 1 κατα [1%] ¦ one other reading

ἕκαστος σκοπεῖτε,* ἀλλὰ καὶ† τὸ‡ ἑτέρων
ἕκαστος.§
5 Τοῦτο γὰρ* φρονείσθω† ἐν ὑμῖν ὃ καὶ
ἐν Χριστῷ Ἰησοῦ, 6 ὅς, ἐν μορφῇ Θεοῦ
ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι
ἴσα Θεῷ, 7 ἀλλ᾽ ἑαυτὸν ἐκένωσεν, μορφὴν
δούλου λαβών, ἐν ὁμοιώματι ἀνθρώπων
γενόμενος. 8 Καὶ σχήματι εὑρεθεὶς ὡς
ἄνθρωπος, ἐταπείνωσεν ἑαυτόν, γενόμενος
ὑπήκοος μέχρι θανάτου—θανάτου δὲ σταυροῦ.
9 Διὸ καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσεν καὶ
ἐχαρίσατο αὐτῷ‡ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα,
10 ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ πᾶν γόνυ κάμψῃ—
ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων —
11 καὶ πᾶσα γλῶσσα ἐξομολογήσηται§ ὅτι
Κύριος Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ
Πατρός.

*Act like children of God*

12 Ὥστε, ἀγαπητοί μου, καθὼς πάντοτε

---

* **2:4** σκοπειτε **f**35 [93%] RP,HF,OC,TR,CP ¦ σκοπουντες 𝔭46אA,B,C [5%] NU ¦ σκοπειτω [2%] † **2:4** και **f**35 𝔭46אA,B,C [99%] RP,HF,OC,TR,CP[NU] ¦ — D [1%] ‡ **2:4** το **f**35 [40%] CP ¦ τα 𝔭46אA,B,C [45%] RP,HF,OC,TR,NU ¦ των [15%] § **2:4** εκαστος **f**35 C [95%] RP,HF,OC,TR,CP ¦ εκαστοι 𝔭46אA,B [4%] NU ¦ — [1%] * **2:5** γαρ **f**35 𝔭46 [97%] RP,HF,OC,TR,CP ¦ — אA,B,C [2%] NU ¦ ουν [1%] † **2:5** φρονεισθω **f**35 [97%] RP,HF,OC,TR,CP ¦ φρονειτε 𝔭46אA,B,C [3%] NU ‡ **2:9** αυτω **f**35 [98%] RP,HF,OC,TR,CP ¦ 1 το 𝔭46אA,B,C [2%] NU § **2:11** εξομολογησηται **f**35 𝔭46אB [80%] RP,HF,OC,TR,CP,NU ¦ εξομολογησεται A,C [20%]

ὑπηκούσατε* (μὴ ὡς† ἐν τῇ παρουσίᾳ μου
μόνον ἀλλὰ‡ νῦν πολλῷ μᾶλλον ἐν τῇ ἀπουσίᾳ
μου), μετὰ φόβου καὶ τρόμου τὴν ἑαυτῶν
σωτηρίαν κατεργάζεσθε, 13 ὁ§ Θεὸς γάρ ἐστιν
ὁ ἐνεργῶν ἐν ὑμῖν, καὶ τὸ θέλειν καὶ τὸ
ἐνεργεῖν, ὑπὲρ τῆς εὐδοκίας.
14 Πάντα ποιεῖτε χωρὶς γογγυσμῶν* καὶ
διαλογισμῶν, 15 ἵνα γένησθε ἄμεμπτοι καὶ
ἀκέραιοι, τέκνα Θεοῦ ἀμώμητα† ἐν μέσῳ‡
γενεᾶς σκολιᾶς καὶ διεστραμμένης, ἐν οἷς
φαίνεσθε ὡς φωστῆρες ἐν κόσμῳ, 16 λόγον
ζωῆς ἐπέχοντες, εἰς καύχημα ἐμοὶ εἰς ἡμέραν
Χριστοῦ ὅτι οὐκ εἰς κενὸν ἔδραμον οὐδὲ εἰς
κενὸν ἐκοπίασα. 17 Ἀλλ᾽§ εἰ καὶ σπένδομαι ἐπὶ
τῇ θυσίᾳ καὶ λειτουργίᾳ τῆς πίστεως ὑμῶν,
χαίρω καὶ συγχαίρω πᾶσιν ὑμῖν. 18 Τὸ δ᾽* αὐτὸ
καὶ ὑμεῖς χαίρετε καὶ συγχαίρετέ μοι.

### *About Timothy*

19 Ἐλπίζω δὲ ἐν Κυρίῳ Ἰησοῦ Τιμόθεον
ταχέως πέμψαι ὑμῖν, ἵνα κἀγὼ εὐψυχῶ γνοὺς
τὰ περὶ ὑμῶν. 20 Οὐδένα γὰρ ἔχω ἰσόψυχον,
ὅστις γνησίως τὰ περὶ ὑμῶν μεριμνήσει 21 (οἱ

---

* **2:12** υπηκουσατε *rell* ¦ 1 μου CP † **2:12** ως **f**35 𝔭46אA,C [90%] RP,HF,OC,TR,NU ¦ — B [10%] CP ‡ **2:12** αλλα *rell* ¦ 1 και CP § **2:13** ο **f**35 [95%] RP,HF,OC,TR,CP ¦ — אA,B,C [5%] NU * **2:14** γογγυσμων **f**35 𝔭46vאA,B,C [90%] RP,HF,OC,TR,NU ¦ οργης [10%] CP † **2:15** αμωμητα **f**35 [97%] RP,HF,OC,TR,CP ¦ αμωμα 𝔭46אA,B,C [3%] NU ‡ **2:15** εν μεσω **f**35 [96%] RP,HF,OC,TR,CP ¦ μεσον 𝔭46אA,B,C [4%] NU § **2:17** αλλ *rell* ¦ αλλα Av,B [1%] NU * **2:18** δ **f**35 A,C [97%] RP,HF,OC,TR ¦ δε 𝔭46אB [3%] CP,NU

πάντες γὰρ τὰ ἑαυτῶν ζητοῦσιν, οὐ τὰ†
Χριστοῦ Ἰησοῦ).‡ 22 Τὴν δὲ δοκιμὴν αὐτοῦ
γινώσκετε, ὅτι ὡς πατρὶ τέκνον σὺν ἐμοὶ
ἐδούλευσεν εἰς τὸ εὐαγγέλιον. 23 Τοῦτον μὲν
οὖν ἐλπίζω πέμψαι, ὡς ἂν ἀπίδω§ τὰ περὶ ἐμὲ
ἐξαυτῆς. 24 Πέποιθα δὲ ἐν Κυρίῳ ὅτι καὶ αὐτὸς
ταχέως ἐλεύσομαι.

### *About Epaphroditus*

25 Ἀναγκαῖον δὲ ἡγησάμην Ἐπαφρόδιτον,
τὸν ἀδελφὸν καὶ συνεργὸν καὶ συστρατιώτην
μου, ὑμῶν δὲ ἀπόστολον καὶ λειτουργὸν τῆς
χρείας μου, πέμψαι πρὸς ὑμᾶς· 26 ἐπειδὴ
ἐπιποθῶν ἦν πάντας ὑμᾶς,* καὶ ἀδημονῶν
διότι ἠκούσατε ὅτι ἠσθένησεν. 27 Καὶ γὰρ
ἠσθένησεν, παραπλήσιον θανάτῳ,† ἀλλ᾽‡ ὁ
Θεὸς αὐτὸν ἠλέησεν,§ οὐκ αὐτὸν δὲ μόνον
ἀλλὰ καὶ ἐμέ, ἵνα μὴ λύπην ἐπὶ λύπην*
σχῶ. 28 Σπουδαιοτέρως οὖν ἔπεμψα αὐτόν,
ἵνα ἰδόντες αὐτὸν πάλιν χαρῆτε, κἀγὼ
ἀλυπότερος† ὦ. 29 Προσδέχεσθε οὖν αὐτὸν
ἐν Κυρίῳ μετὰ πάσης χαρᾶς, καὶ τοὺς

---

† **2:21** τα **f**$^{35}$ 𝔓$^{46}$אA,B,C [60%] RP,HF,OC,CP,NU ¦ 1 του [40%] TR ‡ **2:21** χριστου ιησου **f**$^{35}$ B [97%] RP,HF,OC,TR,CP ¦ 21 𝔓$^{46}$אA,C [3%] NU § **2:23** απιδω **f**$^{35}$ C [97%] RP,HF,OC,TR,CP ¦ αφιδω 𝔓$^{46}$אA,B [3%] NU * **2:26** υμας **f**$^{35}$ (𝔓$^{46}$)(B) [75%] RP,HF,OC,TR,CP,NU ¦ 1 ιδειν אA,C,I$^{V}$ [25%] † **2:27** θανατω *rell* ¦ θανατου B [10%] OC ‡ **2:27** αλλ **f**$^{35}$ [80%] HF,OC,TR ¦ αλλα אA,B,C [20%] RP,CP,NU § **2:27** αυτον ηλεησεν **f**$^{35}$ [95%] RP,HF,OC,TR,CP ¦ 21 אA,B,C [5%] NU * **2:27** λυπην **f**$^{35}$ אA,B,C [90%] RP,HF,OC,CP,NU ¦ λυπη [10%] TR † **2:28** αλυποτερος *rell* ¦ αλυπωτερος [15%]

τοιούτους ἐντίμους ἔχετε, 30 ὅτι διὰ τὸ
ἔργον τοῦ Χριστοῦ‡ μέχρι θανάτου ἤγγισεν,
παραβουλευσάμενος§ τῇ ψυχῇ, ἵνα πληρώσῃ*
τὸ ὑμῶν ὑστέρημα τῆς πρός με† λειτουργίας.

## Paul’s example

# 3

1 Τὸ λοιπόν, ἀδελφοί μου, χαίρετε ἐν Κυρίῳ.
Τὰ αὐτὰ γράφειν ὑμῖν ἐμοὶ μὲν οὐκ ὀκνηρόν,
ὑμῖν δὲ τὸ* ἀσφαλές. 2 Βλέπετε τοὺς κύνας,
βλέπετε τοὺς κακοὺς ἐργάτας, βλέπετε τὴν
κατατομήν· 3 ἡμεῖς γάρ ἐσμεν ἡ περιτομή, οἱ
Πνεύματι Θεοῦ† λατρεύοντες καὶ καυχώμενοι
ἐν Χριστῷ Ἰησοῦ, καὶ οὐκ ἐν σαρκὶ πεποιθότες
4 (καίπερ ἐγὼ ἔχων πεποίθησιν καὶ‡ ἐν σαρκί).

### *About Paul*

Εἴ τις δοκεῖ ἄλλος πεποιθέναι ἐν σαρκί,
ἐγὼ μᾶλλον· 5 περιτομῇ ὀκταήμερος, ἐκ
γένους Ἰσραήλ, φυλῆς Βενιαμίν,§ Ἑβραῖος
ἐξ Ἑβραίων· κατὰ νόμον, Φαρισαῖος·
6 κατὰ ζῆλον,* διώκων τὴν ἐκκλησίαν·

---

‡ **2:30** του χριστου **f**[35] [90%] RP,HF,OC,TR,CP ¦ 2 𝔭[46]B [5%] NU ¦ κυριου אA [4%] ¦ — C [1%] ¦ one other reading § **2:30** παραβουλευσαμενος **f**[35] C [97%] RP,HF,OC,TR,CP ¦ παραβολευσαμενος 𝔭[46]אA,B [3%] NU * **2:30** πληρωση **f**[35] B [40%] CP ¦ αναπληρωση 𝔭[46]A,C [55%] RP,HF,OC,TR,NU ¦ αναπληρωσει א [5%] † **2:30** με *rell* ¦ εμε א [10%] * **3:1** το **f**[35] A[V] [40%] HF ¦ — 𝔭[46]אB,C [60%] RP,OC,TR,CP,NU † **3:3** θεου **f**[35] אA,B,C [95%] RP,HF,OC,CP,NU ¦ θεω [5%] TR ¦ — 𝔭[46] ‡ **3:4** και *rell* ¦ — [10%] § **3:5** βενιαμιν *rell* ¦ βενιαμην C [10%] ¦ βενιαμειν אA,B [5%] * **3:6** ζηλον **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ ζηλος 𝔭[46]אA,B,I [3%] NU

κατὰ δικαιοσύνην τὴν ἐν νόμῳ γενόμενος,
ἄμεμπτος.
7 Ἀλλ'† ἅτινα ἦν μοι‡ κέρδη, ταῦτα ἥγημαι
διὰ τὸν Χριστὸν ζημίαν. 8 Ἀλλὰ μὲν οὖν§ καὶ
ἡγοῦμαι πάντα ζημίαν εἶναι διὰ τὸ ὑπερέχον
τῆς γνώσεως Χριστοῦ Ἰησοῦ* τοῦ Κυρίου
μου—δι' ὃν τὰ πάντα ἐζημιώθην (καὶ ἡγοῦμαι
σκύβαλα εἶναι),† ἵνα Χριστὸν κερδήσω 9 καὶ
εὑρεθῶ ἐν αὐτῷ, μὴ ἔχων ἐμὴν δικαιοσύνην
τὴν ἐκ νόμου ἀλλὰ τὴν διὰ πίστεως Χριστοῦ,
τὴν ἐκ Θεοῦ δικαιοσύνην ἐπὶ τῇ πίστει·
10 τοῦ γνῶναι αὐτὸν καὶ τὴν δύναμιν τῆς
ἀναστάσεως αὐτοῦ, καὶ τὴν‡ κοινωνίαν
τῶν§ παθημάτων αὐτοῦ, συμμορφούμενος*
τῷ θανάτῳ αὐτοῦ, 11 εἴ πως καταντήσω εἰς
τὴν ἐξανάστασιν τῶν† νεκρῶν 12 —οὐχ ὅτι
ἤδη ἔλαβον ἢ ἤδη τετελείωμαι· διώκω δὲ εἰ καὶ
καταλάβω ἐφ' ᾧ καὶ κατελήφθην‡ ὑπὸ τοῦ§

† **3:7** αλλ **f35** [95%] RP,HF,OC,TR,CP ¦ αλλα B [2%] [NU] ¦ — 𝔓46אA [3%] ‡ **3:7** ην μοι *rell* ¦ 21 B [10%] § **3:8** ουν **f35** B [90%] RP,HF,CP ¦ ουνγε 𝔓46אA [10%] OC,TR,NU * **3:8** χριστου ιησου **f35** 𝔓46א(B) [80%] RP,HF,OC,TR,CP,NU ¦ 21 A [20%] † **3:8** ειναι **f35** A [97%] RP,HF,OC,TR,CP ¦ — אB [3%] NU ‡ **3:10** την **f35** [98%] RP,HF,OC,TR,CP[NU] ¦ — 𝔓46אA,B [2%] § **3:10** των **f35** A [99%] RP,HF,OC,TR,CP[NU] ¦ — 𝔓46אB [1%] * **3:10** συμμορφουμενος **f35** [97%] RP,HF,OC,TR,CP ¦ συμμορφιζομενος (א)A [2%] NU ¦ συμορφιζομενος B ¦ συνφορτειζομενος [1%] ¦ — 𝔓46 omits whole phrase † **3:11** των **f35** [96%] RP,HF,OC,TR,CP ¦ την εκ 𝔓46אA,B [3%] NU ¦ 1 εκ [1%] ‡ **3:12** κατεληφθην *rell* ¦ κατελημφθην אA,B [2%] NU § **3:12** του **f35** [80%] RP,HF,OC,TR,CP ¦ — 𝔓46אA,B,C [20%] NU

Χριστοῦ Ἰησοῦ.*
13 Ἀδελφοί, ἐγὼ ἐμαυτὸν οὔπω† λογίζομαι
κατειληφέναι, ἓν δέ· τὰ μὲν ὀπίσω‡
ἐπιλανθανόμενος τοῖς δὲ ἔμπροσθεν
ἐπεκτεινόμενος, 14 κατὰ σκοπὸν διώκω ἐπὶ§
τὸ βραβεῖον τῆς ἄνω κλήσεως τοῦ Θεοῦ ἐν
Χριστῷ Ἰησοῦ.

### *Our citizenship is in Heaven*

15 Ὅσοι οὖν τέλειοι τοῦτο φρονῶμεν, καὶ εἴ
τι ἑτέρως φρονεῖτε, καὶ τοῦτο ὁ Θεὸς ὑμῖν
ἀποκαλύψει. 16 Πλήν, εἰς ὃ ἐφθάσαμεν, τῷ
αὐτῷ στοιχεῖν κανόνι, τὸ αὐτὸ φρονεῖν.*
17 Συμμιμηταί μου γίνεσθε, ἀδελφοί,
καὶ σκοπεῖτε τοὺς οὕτως περιπατοῦντας
καθὼς ἔχετε τύπον ἡμᾶς. 18 Πολλοὶ γὰρ
περιπατοῦσιν—οὓς πολλάκις ἔλεγον ὑμῖν, νῦν
δὲ καὶ κλαίων λέγω—τοὺς ἐχθροὺς τοῦ σταυροῦ
τοῦ Χριστοῦ, 19 ὧν τὸ τέλος ἀπώλεια, ὧν ὁ †
θεὸς ἡ κοιλία, καὶ ἡ δόξα ἐν τῇ αἰσχύνῃ
αὐτῶν· οἱ τὰ ἐπίγεια φρονοῦντες. 20 Ἡμῶν
γὰρ τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει, ἐξ
οὗ καὶ σωτῆρα ἀπεκδεχόμεθα, Κύριον Ἰησοῦν
Χριστόν· 21 ὃς μετασχηματίσει τὸ σῶμα τῆς

---

* **3:12** χριστου ιησου $\mathbf{f}^{35}$ $\mathfrak{P}^{46}$ℵA [97%] RP,HF,OC,TR[NU] ¦ 21 [1%] ¦ 1 B [2%] ¦ κυριου 21 CP † **3:13** ουπω $\mathbf{f}^{35}$ $\mathfrak{P}^{16v}$ℵA [40%] OC,CP ¦ ου $\mathfrak{P}^{46}$B [60%] RP,HF,TR,NU ‡ **3:13** οπισω *rell* ¦ οπισθεν [10%] § **3:14** επι $\mathbf{f}^{35}$ [96%] RP,HF,OC,TR,CP ¦ εις $\mathfrak{P}^{16,46}$ℵA,B,I [4%] NU * **3:16** κανονι το αυτο φρονειν $\mathbf{f}^{35}$ (91%) RP,HF,OC,TR,CP ¦ 2314 (6.3%) ¦ 234 (1%) ¦ — $\mathfrak{P}^{16,46}$ℵA,B,$I^{v}$ (1.7%) NU (Some 7% invert the order of στοιχειν and φρονειν.) † **3:19** ο *rell* ¦ — CP

ταπεινώσεως ἡμῶν εἰς τὸ γενέσθαι αὐτὸ‡
σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ,
κατὰ τὴν ἐνέργειαν τοῦ δύνασθαι αὐτὸν
καὶ ὑποτάξαι ἑαυτῷ§ τὰ πάντα.

# 4

1 Ὥστε, ἀδελφοί μου, ἀγαπητοὶ καὶ
ἐπιπόθητοι, χαρὰ καὶ στέφανός μου, οὕτως
στήκετε ἐν Κυρίῳ, ἀγαπητοί.

## Concluding considerations

*To individuals*

2 Εὐοδίαν* παρακαλῶ καὶ Συντύχην
παρακαλῶ τὸ αὐτὸ φρονεῖν ἐν Κυρίῳ. 3 Ναί,†
ἐρωτῶ καὶ σέ, σύζυγε γνήσιε,‡ συλλαμβάνου
αὐταῖς, αἵτινες ἐν τῷ εὐαγγελίῳ συνήθλησάν
μοι, μετὰ καὶ Κλήμεντος καὶ τῶν λοιπῶν
συνεργῶν μου, ὧν τὰ ὀνόματα ἐν Βίβλῳ Ζωῆς.

*Filling the mind with good things*

4 Χαίρετε ἐν Κυρίῳ πάντοτε· πάλιν ἐρῶ,
χαίρετε. 5 Τὸ ἐπιεικὲς ὑμῶν γνωσθήτω
πᾶσιν ἀνθρώποις· ὁ Κύριος ἐγγύς. 6 Μηδὲν
μεριμνᾶτε, ἀλλ᾽ ἐν παντί, τῇ προσευχῇ καὶ τῇ
δεήσει μετὰ εὐχαριστίας,§ τὰ αἰτήματα ὑμῶν

---

‡ **3:21** εις το γενεσθαι αυτο **f**35 (90.2%) RP,HF,OC,TR,CP ¦ 123 αυτω (3.2%) ¦ 123 αυτον (3.2%) ¦ 123 (0.8%) ¦ — אA,B (2.5%) NU ¦ one other reading (0.2%) § **3:21** εαυτω **f**35 [80%] RP,HF,TR,CP ¦ αυτω אA,B [20%] OC,NU * **4:2** ευοδιαν **f**35 אA,B [90%] RP,HF,OC,CP,NU ¦ ευωδιαν [10%] TR † **4:3** ναι **f**35 𝔓46אA,B [95%] RP,HF,OC,CP,NU ¦ και [5%] TR ‡ **4:3** συζυγε γνησιε **f**35 [90%] RP,HF,OC,TR,CP ¦ 21 (𝔓46)א(A)B [10%] NU § **4:6** ευχαριστιας *rell* ¦ ευχαριστειας [20%]

γνωριζέσθω πρὸς τὸν Θεόν· 7 καὶ ἡ εἰρήνη τοῦ
Θεοῦ, ἡ ὑπερέχουσα πάντα νοῦν, φρουρήσει
τὰς καρδίας ὑμῶν καὶ τὰ νοήματα ὑμῶν ἐν
Χριστῷ Ἰησοῦ.
8 Τὸ λοιπόν, ἀδελφοί, ὅσα ἐστὶν ἀληθῆ, ὅσα
σεμνά, ὅσα δίκαια, ὅσα ἁγνά, ὅσα προσφιλῆ,
ὅσα εὔφημα—εἴ τις ἀρετὴ καὶ εἴ τις ἔπαινος
—ταῦτα λογίζεσθε. 9 Ἃ καὶ ἐμάθετε καὶ
παρελάβετε καὶ ἠκούσατε καὶ εἴδετε* ἐν ἐμοί,
ταῦτα πράσσετε, καὶ ὁ Θεὸς τῆς εἰρήνης ἔσται
μεθ᾽ ὑμῶν.

### *Thanks for material support*

10 Ἐχάρην δὲ ἐν Κυρίῳ μεγάλως ὅτι ἤδη ποτὲ
ἀνεθάλετε τὸ ὑπὲρ ἐμοῦ φρονεῖν· ἐφ᾽ ᾧ καὶ
ἐφρονεῖτε,† ἠκαιρεῖσθε δέ. 11 Οὐχ ὅτι καθ᾽
ὑστέρησιν λέγω, ἐγὼ γὰρ ἔμαθον ἐν οἷς εἰμι
αὐτάρκης εἶναι. 12 Οἶδα καὶ‡ ταπεινοῦσθαι,
οἶδα καὶ περισσεύειν· ἐν παντὶ καὶ ἐν πᾶσιν
μεμύημαι καὶ χορτάζεσθαι καὶ πεινᾶν, καὶ
περισσεύειν καὶ ὑστερεῖσθαι. 13 Πάντα ἰσχύω
ἐν τῷ ἐνδυναμοῦντί με Χριστῷ.§ 14 Πλὴν*
καλῶς ἐποιήσατε συγκοινωνήσαντές μου τῇ
θλίψει.
15 Οἴδατε δὲ† καὶ ὑμεῖς, Φιλιππήσιοι,
ὅτι ἐν ἀρχῇ τοῦ εὐαγγελίου, ὅτε ἐξῆλθον

---

* **4:9** ειδετε $\mathbf{f}^{35}$ ℵA,B [70%] RP,HF,OC,TR,CP,NU ¦ ιδετε [30%] † **4:10** εφρονειτε *rell* ¦ φρονειτε CP ‡ **4:12** και $\mathbf{f}^{35}$ 𝔓$^{46}$ℵA,B [85%] RP,HF,OC,CP,NU ¦ δε [15%] TR § **4:13** χριστω $\mathbf{f}^{35}$ [98%] RP,HF,OC,TR,CP ¦ —ℵA,B,I [2%] NU * **4:14** πλην $\mathbf{f}^{35}$ ℵA,B [90%] RP,HF,OC,TR,CP,NU ¦ 1 και υμεις [10%] † **4:15** δε *rell* ¦ —𝔓$^{46}$ [2%] CP

ἀπὸ Μακεδονίας, οὐδεμία μοι ἐκκλησία
ἐκοινώνησεν εἰς λόγον δόσεως καὶ λήψεως‡
εἰ μὴ ὑμεῖς μόνοι. 16 Ὅτι καὶ ἐν Θεσσαλονίκῃ,
καὶ ἅπαξ καὶ δίς, εἰς τὴν χρείαν μοι ἐπέμψατε.
17 Οὐχ ὅτι ἐπιζητῶ τὸ δόμα, ἀλλʼ§ ἐπιζητῶ
τὸν καρπὸν τὸν πλεονάζοντα εἰς λόγον
ὑμῶν. 18 Ἀπέχω δὲ πάντα καὶ περισσεύω·
πεπλήρωμαι, δεξάμενος παρὰ Ἐπαφροδίτου
τὰ παρʼ ὑμῶν, ὀσμὴν εὐωδίας, θυσίαν
δεκτήν, εὐάρεστον τῷ Θεῷ. 19 Ὁ δὲ Θεός
μου πληρώσει* πᾶσαν χρείαν ὑμῶν κατὰ τὸν
πλοῦτον† αὐτοῦ ἐν δόξῃ ἐν Χριστῷ Ἰησοῦ.

20 Τῷ δὲ Θεῷ καὶ Πατρὶ ἡμῶν ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## *Sign-off*

21 Ἀσπάσασθε πάντα ἅγιον ἐν Χριστῷ
Ἰησοῦ. Ἀσπάζονται ὑμᾶς οἱ σὺν ἐμοὶ ἀδελφοί.
22 Ἀσπάζονται ὑμᾶς πάντες οἱ ἅγιοι, μάλιστα
δὲ οἱ ἐκ τῆς Καίσαρος οἰκίας.

23 Ἡ χάρις τοῦ Κυρίου,‡ Ἰησοῦ Χριστοῦ, μετὰ

---

‡ **4:15** ληψεως *rell* ¦ λημψεως אA,B [2%] NU § **4:17** αλλ *rell* ¦ αλλα A,B [1%] NU * **4:19** πληρωσει *rell* ¦ πληρωσαι [15%] † **4:19** τον πλουτον **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ το πλουτος 𝔓[46]אA,B [2%] NU ¦ του πλουτος [1%] ‡ **4:23** κυριου **f**[35] אA,B [85%] RP,HF,OC,CP,NU ¦ 1 ημων 𝔓[46] [15%] TR

πάντων§ ὑμῶν. Ἀμήν.*,†

---

§ **4:23** παντων **f**[35] (90.9%) RP,HF,OC,TR,CP ¦ του πνευματος 𝔭[46]אA,B (9.1%) NU * **4:23** αμην **f**[35] 𝔭[46]אA [98%] RP,HF,OC,TR,CP ¦ — B [2%] NU † **4:23** The citation of **f**[35] is based on thirty-seven MSS—18, 35, 201, 204, 328, 386, 394, 444, 604, 757, 824, 928, 986, 1072, 1075, 1100, 1248, 1249, 1503, 1548, 1637, 1725, 1732, 1761, 1768, 1855, 1864, 1865, 1876, 1892, 1897, 2080, 2352, 2466, 2554, 2587 and 2723—all of which I collated myself. 35, 1072, 1864, 1865 and 2554 are 'perfect' representatives of **f**[35] in Philippians, as they stand, as were the exemplars of another ten. The uniformity is impressive. Since these MSS come from all over the Mediterranean world (Sinai, Jerusalem, Patmos, Constantinople, Bucharest, Aegean, Trikala, Meteora, Athens, Mt. Athos [seven different monasteries], Grottaferrata, Vatican, etc.) they are certainly representative of the family, giving us the precise family profile—it is reflected in the Text without exception.In the statements of evidence I have included the percentage of manuscript attestation for each variant, within either ( ) or [ ]. I have used ( ) for the evidence taken from *TuT*, which I take to be reasonably precise. For the variant sets that are not covered there I had to revert to von Soden and the apparatus of N-A[27], supplementing from other sources where possible (Scrivener and Tischendorf)—the percentages offered, I have used [ ] for these, are extrapolations based on a comparison of these sources.I venture to predict, if complete collations ever become available, that for any non-Byzantine variants listed with 5 to 1% support (in my apparatus) the margin of error should not exceed ±1%; for non-Byzantine variants listed with 10 to 6% support the margin of error should hardly exceed ±3%; where there is some division among the Byzantine witnesses the margin of error should rarely exceed ±15%. However, I guarantee the witness of Family 35. Please see the last footnote for Matthew for further information.

# Η Καινή Διαθήκη
## The Greek New Testament According to Family 35, Wilbur Pickering

Copyright © 2020 Wilbur N. Pickering

Language: Ελληνική (Greek, Ancient)

Dialect: Koine

Contributor: Dwayne Green, Robert A. Boyd

This translation is made available to you under the terms of the Creative Commons Attribution-Noncommercial-No Derivatives license 4.0.
You may share and redistribute this Bible translation or extracts from it in any format, provided that:

You include the above copyright and source information.

You do not sell this work for a profit.

You do not change any of the words or punctuation of the Scriptures.

Pictures included with Scriptures and other documents on this site are licensed just for use with those Scriptures and documents. For other uses, please contact the respective copyright owners.

2022-10-28

---

PDF generated using Haiola and XeLaTeX on 11 Nov 2022 from source files dated 11 Nov 2022
cf64fb6f-e463-5ebb-820f-5a4a7bb37b73